A βουλῆς παρατιθόμενα. ἐπρυτάνευον δὲ ἐκ διαδοχῆς ἀλλήλοις αἱ δέκα φυλαὶ, κλήρῳ λαχοῦσαι. Παρείρπυσεν.] ὡς ἐπὶ ὄφεως εἶπεν. ἐπειδὴ τυφλὸς ἦν. Ὀπῷ] πάνυ γὰρ δριμύτατος ὁ ὀπός. τιθύμαλλον δὲ εἶδος βοτάνης δριμυτάτης. ἴσως δὲ αὕτη παρὰ Λάκωσιν εὑρίσκεται. εἰώθασι δὲ οἱ ἰατροὶ καὶ ἐκ πατρίδος ὑπ' ἀλαζονείας τὰς βοτάνας ὀνομάζειν. οἷον, κυρηναϊκὸν ὀπὸν καὶ σμυρναϊκόν. ἦν μέντοι διαβόητος καὶ ὁ Λακωνικὸς τιθύμαλλος.

Χρ. Μετὰ τοῦτον Εὐαίων ὁ δεξιώτατος
Παρῆλθε γυμνὸς ὡς ἐδόκει τοῖς πλείοσιν
Αὐτός γε μέντ' οὔφασκεν ἱμάτιον ἔχειν,
Κἄπειτ' ἔλεξε δημοτικωτάτους λόγους.
Ὁρᾶτε μέν με δεόμενον σωτηρίας
Τετραστατήρου καὐτὸν, ἀλλ' ὅμως ἐρῶ,
Ὡς τὴν πόλιν καὶ τοὺς πολίτας σώσετε.
Ἢν γὰρ παρέχωσι τοῖς δεομένοις οἱ κναφῆς
Χλαίνας ἐπειδὰν πρῶτον ἥλιος τράπῃ,
Πλευρῖτις ἡμῶν οὐδέν' ἂν λάβοι ποτέ.
Ὅσοις δὲ κλίνη μή 'στι, μηδὲ στρώματα
Ἰέναι καθευδήσοντας ἀπονενιμμένους
Ἐς τῶν σκυλοδεψῶν. ἢν δ' ἀποκλίνῃ τῇ θύρᾳ
Χειμῶνος ὄντος, τρεῖς σισύρας ὀφειλέτω.
Βλ. Νὴ τὸν Διόνυσον χρηστά γ' εἰ δ' ἐκεῖνά γε
Προσέθηκεν οὐδεὶς ἀντεχειροτόνησεν ἄν,
Τοὺς ἀλφιταμοιβοὺς τοῖς ἀπόροις τρεῖς χοίνικας
Δεῖπνον παρέχειν ἅπασιν. ἢ κλάειν μακρὰ
Ἵνα τοῦτ' ἀπέλαυσαν Ναυσικύδους τἀγαθόν.
Χρ. Μετὰ τοῦτο τοίνυν εὐπρεπὴς νεανίας
Λευκός τις ἀνεπήδησεν ὅμοιος Νικίᾳ,
Δημηγορήσων, κἀπεχείρησε λέγειν,
Ὡς χρὴ παραδοῦναι ταῖς γυναιξὶ τὴν πόλιν.
Εἶτ' ἐθορύβησαν κἀνέκραγον ὡς εὖ λέγοι
Τὸ σκυτοτομικὸν πλῆθος. οἱ δ' ἐκ τῶν ἀγρῶν
Ἀνεβορβόρυξαν. Βλ. νοῦν γὰρ εἶχον νὴ Δία.
Χρ. Ἀλλ' ἦσαν ἥττους. ὁ δὲ, κατεῖχε τῇ βοῇ.
Τὰς μὲν γυναῖκας πόλλ' ἀγαθὰ λέγων. σὲ δὲ
Πολλὰ κακά. Βλ. καὶ τί εἶπε. Χρ. πρῶτον μὲν
σ' ἔφη
Εἶναι πανοῦργον. Βλ. καὶ σέ; Χρ. μή πω τοῦτ'
ἔρῃ.
Κἄπειτα κλέπτην. Βλ. ἐμὲ μόνον; Χρ. καὶ νὴ
Δία
Καὶ συκοφάντην. Βλ. ἐμὲ μόνον; Χρ. καὶ νὴ Δία
Τωνδὶ τὸ πλῆθος. Βλ. τίς δὲ τοῦτ' ἄλλος λέγει;
Χρ. Γυναῖκα δ' εἶναι πρᾶγμ' ἔφη νουβυστικὸν,
Καὶ χρηματοποιόν. κοὔτ' ἀπόρρητ' ἔφη
Ἐκ θεσμοφόροιν ἑκάστοτ' αὐτὰς ἐκφέρειν.
Σὲ δὲ κἀμὲ βουλεύοντε τοῦτο δρᾶν ἀεί.

CHR. Poſt hunc Euæon aptiſſimus
Aduenit nudus, ut apparebat pluribus:
Ipſe quidem non dicebat veſtem habere,
Et poſtea dixit ciuiliſſimos ſermones.
B *Videte quidem me indigentem ſalutis*
Quatuor librarum & ipſe: ſed tamen dicam,
Quòd ciuitatem & eius ciues ſaluabitis.
Si enim præbeant indigentibus fullones
Veſtes, poſtquam primùm ſol reuerſus eſt,
Dolor laterum noſtrûm nullum caperet vnquã.
Quibuſcunque autē lectica non eſt, neque lecti,
Ire dormituros lotos *(ianuæ,*
C *In claudorum tinctorum: ſi autem abeſt lectus*
Hyeme exiſtente, tres veſtes debitum ſit.
BLE. Per Dionyſium bona: ſi autem illa
Appoſuiſſet, nullus loco illius diceret
Farinarum venditores egenis tres menſuras
Cænam tradere omnibus, vel lugere longè,
Vbi hoc acceperunt Nauſicydis bonum.
CHR. Poſt hoc igitur pulcher adoleſcens,
Albus quidam inſiluit ſimilis Niciæ,
D *Concionans, & incœpit dicere,*
Quòd oportet tradere mulieribus ciuitatem.
Poſtea turbati ſunt, & clamauerūt ꝙ bene dicat
Sutorica multitudine, hi autem ex agris *(Iouē.*
Clamauerunt. BLE. mentē enim habebant per
CH. Sed erāt minores. hic autē detinebat voce
Has quidē mulieres multa bona dicēs, tibi autē
Multa mala. BLE. & quid dixit? CHR. Primùm quidem te dixit *(roga.*
E *Eſſe malum. BLE. & te? CHR. ne hoc inter-*
Et poſtea furem. BLE. me ſolum? CHR. & per Iouem,
Et criminatorem. BLE. me ſolum? CHR. & per Iouem *(dicit?*
Horum multitudinē. BLE. quis autē hoc aliter
CHR. Mulierem autem dixit rē eſſe ſapientem,
Et rem facientem, & non ſecreta dixit
Ex iudicibus ſemper ipſas efferre:
F *Te autem & me ſeruientes hoc facere ſemper.*

BISETVS. Εὐαίων] ὄνομα κύριον παρὰ τῷ Δημοσθένει ἐν τῷ κατὰ Μειδίου. ἴσως δὲ ἐνταῦθα πλασθέν ἐστιν, ὃ δηλοῖ τὸν ἡδυπαθοῦντα, καὶ ταῖς ἡδυπαθείαις μόνον δουλεύοντα, καὶ πασῶν φροντίδων παντελῶς ἀμελοῦντα, καὶ τῶν ἡδονῶν ἐπιμελούμενον, ἵνα τὸν αἰῶνα, εἴτε τὸν βίον εὖ, καὶ μεθ' ἡδονῆς ἁπάσης διάγῃ. ὁ δὲ Σοφοκλῆς ἐν τῷ Φιλοκτήτῃ τὸ εὐαίωνα ἐπιθετικῶς λαμβάνει, ὕπνον εὐαίωνα καλῶν, ὅπερ ὁ χολιαστὴς ἑρμηνεύει, εὐμενῆ, καλῶς ἄγοντα ἡμῖν τὸν αἰῶνα.

Σχόλια. Ἥλιος τράπῃ] εἰς χειμερινὴν δηλονότι τροπήν. Κλάειν μακρά.] τοῦτο λέγει γέλωτος χάριν. Ναυσικύδους.] οἱ μὲν ὅτι ἀλφιταμοιβός, οἱ δὲ ὅτι πένης. οἱ δὲ, ὅτι οἱ ἀλφιταμοιβοὶ τοῦ Ναυσικύδους τοῦτο ἀπέλαυσαν.

BISETVS. Εὐπρεπὴς νεανίας λευκός τις] διὰ τούτων ἡ Πραξαγόρα δημηγοροῦσα δηλοῦται. Νικίας δὲ, Ἀθηναῖος στρατηγὸς, ὃς τὰ Κύθηρα νῆσον εἷλε, καὶ περὶ τῆς Σπάρτης εἰς φόβον κατέστησε τοὺς Λακεδαιμονίους, ὡς καὶ φρουρὰν αὐτοὺς ἐν τῇ πόλει καταστῆσαι. εἰρήνην δὲ ὀκτὼ ἔτη ταῖς πόλεσιν ἐπρυτάνευσεν. ἦν γὰρ εἰρηνικὸς, ὡς καὶ δειλὸς διὰ τοῦτο νομίζεσθαι καὶ τὰ ἑξῆς. Σ. Σκυτοτομικὸν πλῆθος] δηλοῖ τὸ τῶν γυναικῶν πλῆθος, αἳ σκευὴν καὶ κόσμον τὸν ἀνδρεῖον ἐνδυσάμεναι μετὰ τῆς Πραξαγόρας εἰς τὴν ἐκ-
G κλησίαν ἦλθον. ὁ δὲ Χρέμης τοὺς γυναικείους δόλους οὐ προαισθόμενος αὐτὰς ἄνδρας εἶναι ἡγεῖτο, καὶ διὰ τοῦτο περὶ αὐτῶν ταῦτα λέγει.

Σχόλια. Ἀνεβορβόρυξαν.] ἀνέκραγον. Νοῦν γὰρ εἶχον νὴ Δία.] αἱ γυναῖκες εἰς ἄνδρας διασκευασθεῖσαι. Νουβυστικόν.] νοῦ πεπληρωμένον.

Βλ. Καὶ